ἄρχοντι ὁ λόγος· τῷ δὲ στρατιώτῃ, ὁ θυμὸς· μέσος ὢν, καὶ ὑπακούων τῷ μὲν λόγῳ, κελεύων δὲ καὶ τάττων τοὺς θῆτας, ὅ ἐστι, τὴν ἐπιθυμίαν. ὕλη μὲν οὖν αὐτὴ ἡ τριμέρεια. θέλει γὰρ ὁ πολιτικὸς καὶ θυμοῦσθαι, καὶ ἐπιθυμεῖν, ὅσων τε δεῖ, καὶ ὅτε χρή. ὥσπερ ἡ νήτη συμφθέγγεται τῇ ὑπάτῃ, καὶ τὸν αὐτὸν ἀφίησιν αὐτῇ φθόγγον, εἰ καὶ ὀξύτερον, οὕτω καὶ ἡ ἐπιθυμία πρὸς τὸν λόγον συνάπτεται. εἶδος δὲ, ἡ δικαιοσύνη καὶ σωφροσύνη· ποιητικὸν δὲ αἴτιον, ἡ ἐμφιλόσοφος ζωή· παράδειγμα δὲ, ὁ κόσμος. πρὸς γὰρ τὸ πᾶν εὐταξίας γέμον τάττει πάντα ὁ πολιτικός. κόσμος γὰρ τὸ πᾶν τοῦτο, κατὰ Πλάτωνα, οὐκ ἀκοσμία.26) ὄργανον δὲ, τὰ ἤθη, καὶ ἡ παιδεία· τέλος δὲ, τὸ ἀγαθόν. ἰστέον δὲ ὅτι τὸ ἀγαθὸν διττόν ἐστι, τὸ μὲν γινομένοις ἡμῖν, τὸ δὲ ἀπογινομένοις ἐρχόμενον. τὸ μὲν οὖν γινομένοις ἐστὶ τὸ πολιτικόν· τὸ δὲ ἀπογινομένοις τὸ θεωρητικόν. 27) πρὸς μὲν οὖν τὸν Γοργίαν, περὶ τοῦ ποιητικοῦ διαλέγεται· πρὸς δὲ τὸν Πῶλον, περὶ

26) Scil. in *Gorgia* ita scribit e Pythagoreorum libris p. 250. l. 5. [Sect. 63.]

27) Τέθνηκε ἤδη ὁ θεωρητικός· κεχώρισται γὰρ τῶν παθῶν. Verba sunt Olympiodori nostri in Commentario in *Phaedon.* a cl. Forstero prolata, p. 368. Iuniores Platonici [vti disseruit Io. Albert. Fabricius *Prolegomenis in Marini Proclum*, Sect. 3.] „virtutum plures gradus ac veluti ordines constituerunt, alii tres, alii quatuor, septem denique alii vel octo, quorum primus gradus est quatuor virtutum Cardinalium, *Physicarum* alter, *Ethicarum Politicarum* tertius, *Purgatoriarum* quartus, quintus virtutum *purgati jam defaecatique animi*, sextus *Theoreticarum*, septimus *Theurgicarum*, summus denique et homini vix ac ne vix quidem accessus *Diuinarum*.“